# TEZAUR LITURGIC

## 23 DECEMBRIE
## ATANASIE SIMONOPETRITUL

# PARACLISUL SF.IERARH NIFON, EPISCOPUL CONSTANȚIANEI EGIPTULUI

SIMONOS PETRAS-ATHOS,1995


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# Κανών παρακλητικός εις τον Όσιον Νήφωνα, Επίσκοπον Κωνσταντιανής

**Ποίημα Ἀθανασίου Ἱερομονάχου Σιμωνοπετρίτου**

Ευλογήσαντος του ιερέως, το Κύριε εισάκουσον, το Θεός Κύριος και το τροπάριον.Ήχος δ’. Ο υψωθείς.

Της μετανοίας τον θερμόν υποφήτην, και νηπτικής διαγωγής τον εργάτην, εν επισκόποις άριστον και μέγαν ασκητήν, Νήφωνα προβάλλομεν, προς σε Κύριε πρέσβυν, όπως αμαρτήματα, τα ημών εξαλείψης, και εγκαινίσης Πνεύμά σου ευθές, εις αρραβώνα, και μέθεξιν δόξης σου.

Δόξα. Το αυτό. Και νύν. Θεοτοκίον.

Ου σιωπήσομέν ποτέ Θεοτόκε…

Ο Ν΄ ψαλμός,

μεθ’ όν ο κανών, ου η ακροστοιχίς:

«Μετάνοιαν, Νήφων, δίδου ημίν ευχαίς σου. Α(θανάσιος)».

Ωδή α’. Ήχος πλ. δ’.Υγράν διοδεύσας.

Μετάνοιαν δίδου Νήφων ημίν, ευχαίς σου αγίαις, και γνησίαν επιστροφή, προς θείον Δεσπότην και Πατέρα, ώσπερ και συ ολοψύχως επέστρεψας.

Εχθρός ο παμπόνηρος προσβολαίς, αεί την καρδίαν, πάτερ θείε μου απαιτή, διο σοι προσφεύγων ανακράζω, ταις ικεσίαις σου τούτον κατάργησον.

Τον πλούτον εσκόρπισα αμελώς, ψυχής μου ώ Πάτερ, και πτωχεύω εξ αρετών, διο μετανοία επιστρέψαι, προς τον Δεσπότην με πάλιν αξίωσον.

Θεοτοκίον.

Αγνεία ψυχής σου Μήτερ σεμνή, εγένου δοχείον, της Θεότητός και Υιόν, έτεκες αγνείας τον προστάτην, Ώ παραστήσαις αγνόν με πρεσβείαις σου.

Ωδή γ’. Ουρανίας αψίδος.

Νικητής ανεδείχθης, κατά παθών τίμιος, Νήφων μετ’ αγώνας μυρίους, λαβών απάθειαν, ευχήν και νήψιν τε, ασκήσας πάτερ εμπόνως, όθεν ικετεύω σε, παθών με ύψωσον.

Ότε πνεύμα δειλίας, την σην ψυχήν είληφε, τότε η Αγία παρθένος, Νήφων εστήριξεν, ιλαρώ βλέμματι, ω καμέ ίδοι επεύχου, και καταδιώξαι μου δειλίαν άτολμον.

Ιερός Πρωτομάρτυς, εταστικώς ήλεγξεν, ότε παρεδόθης τη ύβρει, σε Νήφων όσιε, διο αιτούμαί σε, ύβρεως πάσης καθάραι, λογισμόν και στόμα μου, εις Θεού αίνεσιν.

Θεοτοκίον.

Αχωρήτου η χώρα, χωτητικόν ποίησον, μόνον του Υιού σου Παρθένε, νουν μου τον άστατον, αποδιώκουσα, τους νοερούς οδοστάτας, τους καταληστεύοντας, πάσαν μου ύπαρξιν.

Διάσωσον, από κινδύνων τους δούλους σου πάτερ θείε, και προστάτης γενού των ψυχών ημών, απάθειαν, χαριζόμενος ταις ευχαίς σου.

Επίβλεψον, εν ευμενεία Πανύμνητε Θεοτόκε, επί την εμήν χαλεπήν του σώματος κάκωσιν, και ίασαι της ψυχής μου το άλγος.

Κάθισμα Ήχος β’. Πρεσβεία θερμή.

Εκ πείρας μαθών, πταισμάτων το έμπικρον, και θείας ζωής, γλυκύτητα Άγιε, των μεν πρώτων φύλαξον πάτερ Νήφων πρεσβείαις σου, της δευτέρας ημάς, ταχύ αξίωσον.

Ωδή δ’. Εισακήκοα, Κύριε.

Νηπτική εργασία σου, Πάτερ τα βαθέα έγνως της Χάριτος, νήφειν όθεν καταξίωσον, πάντας αιτουμένους ικεσίαν σου.

Ναζωραίου η δύναμις, φοβερά υπάρχει Νήφων τοις δαίμοσι, ήν μοι όπλον απροσμάχητον, δώρησαι παλαίοντι τρισόλβιε.

Η της κόπρου απόθεσις, γέγονέ σοι πάτερ σαρκός ανάπαυσις, διο άγγελός μοι φάνηθι, εν καιρώ πολέμου απαθέστατε.

Θεοτοκίον.

Φαιδροτάτη παράκλησις, πέφυκεν η κλήσίς σου Παναμώμητε, τοις εν πνεύματι παλαίουσι, δια την αγάπην θείου Τέκνου σου.

Ωδή ε’. Φώτισον ημάς.

Ώλεσας εχθρού, τας ενέδρας παμμακάριστε, δια νηστείας και της δίψης τε, καλώ διδύμω ώ οπλίσαις ουδενίαν μου.

Νουν τον καθαρόν, ο σατάν ταράξαι θέλων σου, δι’ απιστίας Πάτερ ώρμησεν, ης του πολέμου, μη την πείραν επιτρέψης μοι.

Δύναμιν λαβών, του Κυρίου εποφθέντος σοι, χαράς επλήσθης αγιώτατε, ήν χάρισαί μοι, ως εφόδιον ισόβιον.

Θεοτοκίον.

Ίθυνον Αγνή, τας πορείας μου προς Κύριον, ότι σαλεύομαι ως νήπιον, και κινδυνεύω, εμπεσείν εις άδου πέταυρα.

Ωδή στ'. Την δέησιν εκχεώ.

Δυσκόλως, στυλοβατούμεν Άγιε, ως εδείχθη σοι φρικτή οπτασία, αλλά Χριστού, δυναμούντος καρδίαν, και δωρουμένου πιστοίς την διάκρισιν, πετάννυμεν ως αετοί, μεθ' ών τάξον καμέ τον ταλαίπωρον.

Ουαί μοι, τω ταπεινώ εκραύγαζες, και ελάμβανες ισχύν εκ Κυρίου, Νήφων σοφέ, ταπεινούμενος σφόδρα, και εφελκύων Αυτού την επίβλεψιν˙ αξίωσον καμέ βοώ, ταπεινούσθαι εκ όλης καρδίας μου.

Υπέρλαμπρος, κατησπάσθη Χάρις σε, ως τον άσωτον πατήρ ηγκαλίσθη, και νοητώ, θείος άγγελος μύρω, κατακενώσας φιάλην κατέχρισε˙ ρανίδα δος ουν αυτού, και ημίν Νήφων ούσιν εν πάθεσι.

Θεοτοκίον.

Ημάρτηκα, τω Θεώ μου Δέσποινα, και ου παύομαι Αυτώ αμαρτάνειν˙ σε δυσωπώ, ως ισχύουσα πάντα, δήσον τους πόδας ψυχής της αθλίας μου, και κράτησόν με της φοράς, οδηγούσης εις όλεθρον Πάναγνε.

Διάσωσον, από κινδύνων τους δούλους σου Πάτερ θείε, και προστάτης γενού των ψυχών ημών, απάθειαν, χαριζόμενος ταις ευχαίς σου.

Άχραντε, η δια λόγου των Λόγον ανερμηνεύτως, επ’ εσχάτων των ημερών τεκούσα δυσώπησον, ως έχουσα μητρικήν παρρησίαν.

Κοντάκιον Ήχος β’. Προστασία των χριστιανών.

Ως παθών εκ της πείρας κατέμαθες, πάτερ Νήφων πώς δει αναστρέφεσθαι, τους ποθούντας, ευρείν αιώνιον ζωήν, διο, δίδαξον ημάς, νήψεώς τε και ευχής, τας οδούς αγιώτατε˙ όπως συγκεκραμένοι, Πνεύματι τω Αγίω, οφθώμεν οίκοι τω Θεώ, ευωδίας και χάριτος.

Προκείμενον.

Οι ιερείς σου, Κύριε, ενδύσονται δικαιοσύνην,

και οι όσιοί σου αγαλλιάσονται.

Στίχ. Ακούσατε ταύτα τα έθνη.

ΕΥΑΓΓΕΛΙΟΝ Εκ του κατά Ματθαίον (κεφ. ε', 14 -19)

Είπεν ο Κύριος τοις εαυτού μαθηταίς˙Υμείς εστέ το φως του κόσμου˙ ου δύναται πόλις κρυβήναι επάνω όρους κειμένη. Ουδέ καίουσι λύχνον και τιθέασιν αυτόν υπό τον μόδιον, άλλ' επί την λυχνίαν, και λάμπει πάσι τοις εν τη οικία. Ούτω λαμψάτω το φως υμών έμπροσθεν των ανθρώπων, όπως είδωσιν υμών τα καλά έργα και δοξάσωσι τον Πατέρα υμών τον εν τοις ουρανοίς. Μη νομίσητε ότι ήλθον καταλύσαι τον νόμον ή τους προφήτας˙ ούκ ήλθον καταλύσαι, αλλά πληρώσαι. Αμήν γαρ λέγω υμίν, έως αν παρέλθη ο ουρανός και η γη, ιώτα εν ή μία κεραία ου μη παρέλθη από του νόμου έως αν πάντα γένηται. Ος εάν ουν λύση μίαν των εντολών τούτων των ελαχίστων και διδάξη ούτω τους ανθρώπους, ελάχιστος κληθήσεται εν τη βασιλεία των ουρανών˙ ος δ' αν ποιήση και διδάξη, ούτος μέγας κληθήσεται εν τη βασιλεία των ουρανών.

Δόξα Πατρί και Υιώ και Αγίω Πνεύματι.

Ταις του Ιεράρχου, πρεσβείαις Ελεήμον, εξάλειψον τα πλήθη των εμών εγκλημάτων.

Και νύν και αεί και εις τους αιώνας των αιώνων˙ αμήν.

Ταις της Θεοτόκου, πρεσβείαις Ελεήμον, εξάλειψον τα πλήθη των εμών εγκλημάτων.

Στίχ. Ελέησόν με ο Θεός, κατά το μέγα έλεός σου…

Είτα το Προσόμοιον.Ήχος πλ. β'. Όλην αποθέμενοι.

Πάσας τας δυνάμεις σου, ψυχής υπέζευξας πάτερ, τω Χριστώ ως πρότερον, ταύτας κατηχρείωσας εν τοις πάθεσιν˙ ας και κατελάμπρυνας, δάκρυσι και πόνοις, εκουσίοις τρισμακάριστε, διο ηξίωσαι, θείων δωρεών υπέρ έννοιαν, γενόμενος τοις πταίουσιν, ως καμοί ευέλπιστον στήριγμα˙ Νήφων ιεράρχα, μετάνοιαν και ήθος πενθικόν, δος τοις τιμώσι την μνήμην σου, εις ζωήν αιώνιον.

Ωδή ζ'. Οι εκ της Ιουδαίας.

Μέχρις άδου τον νουν σου, κατεβίβαζες, Πάτερ αυτομεμφόμενος, ιλάσθητί μοι λέγων, Δεσπότη ως τελώνης, αποτέμνων την οίησιν, ης κεφαλήν εξ' εμού, συντρίψαι ικετεύω.

Ιερώς παρεστάναι, τω ναώ του Κυρίου αεί εδίδασκες, και θεία κατανύξει, ευχάς αποδιδόναι, τους πιστούς Νήφων έλεγες, όθεν ευλόγει ημάς, Θεός εύχεσθαι ούτως.

Νοερώς είδες Πάτερ, την παγκόσμιον κρίσιν και σφόδρα έφριξες, διο παρακαλώ σε, την μνήμην ταύτης έχειν, προ

ομμάτων μου χάρισαι, ίνα εκφύγω το πυρ, γεέννης της ασβέστου.

Θεοτοκίον.

Ελαιόν σου ο Νήφων, ως αλέξημα Μήτερ δαιμόνων εύρατο, διο παρακαλούμεν, ελαίω πρεσβειών σου, τας ψυχάς χρίε πάντοτε, των σεβομένων Αγνή, την θείαν σου λοχείαν.

Ωδή η'. Τον Βασιλέα.

Υπό τους πόδας, των αδελφών έχειν Πάτερ, εμαυτόν αξίωσον ευχαίς σου, όπως μοι σκηνώση, το Πνεύμα του Κυρίου.

Χριστού σημείον, ακαταμάχητον έχων, κατ' εχθρών ώ Νήφων κατενίκας ώ με σημειώσαις, δια παντός του βίου.

Αψηλαφήτως, τον Ιησούν εψηλάφεις, εξαισίαις σου ώ Νήφων θεωρίαις, ών καταξιώσαις, ημάς οφθαλμιώντας.

Θεοτοκίον.

Ιερωτάτη, και σωσικόσμω Θυσία, προσεγγίζειν με αξίωσον Παρθένε, καθαρά καρδία, ως είδε θείος Νήφων.

Ωδή θ’ . Κυρίως Θεοτόκον.

Σταυρώ σε καθ’ εκάστην, Δέσποτα Χριστέ μου, ταις αμαρτίαις ηλώ ο αχάριστος, Νήφωνος όθεν πρεσβείαις, μη απορρίψης με.

Σωφρόνισόν με Πάτερ, και αξίωσόν με, πτεροίς καινότητος βίου την θάλασσαν, διαπεράσαι και φθάσαι, εις πόλιν άσειστον.

Ουδέν απέκρυψέ σου, ώνπερ θείε Νήφων, ο Ιησούς επαξίως ητοίμασεν, εν Βασιλεία τη άνω, ης με αξίωσον.

Υπόστρεψον ψυχή μου, δια μετανοίας, προς τον καλόν σου Πατέρα ως τάχιστα, έχεις γαρ θείον προστάτην, τον μέγαν Νήφωνα.

Θεοτοκίον.

Αξίωσον Παρθένε, εν εσχάτη ώρα, τη του θανάτου ιδείν σου το πρόσωπον, και μετασχείν Βασιλείας, συν θείω Νήφωνι.

Και ευθύς, το˙

Άξιόν εστίν ως αληθώς, μακαρίζειν σε την Θεοτόκον, την αειμακάριστον και παναμώμητον και Μητέρα του Θεού ημών. Την τιμιωτέραν των Χερουβείμ και ενδοξοτέραν

ασυγκρίτως των Σεραφείμ, την αδιαφθόρως Θεόν Λόγον τεκούσαν˙ την όντως Θεοτόκον σε μεγαλύνομεν.

Είτα τα Μεγαλυνάρια.

Νήφωνα τον μέγαν εν ασκηταίς, και εν ιεράρχαις, τον φωστήρα τον θεαυγή, ύμνοις θεσπεσίοις τιμήσωμεν ως πρέπει, Χριστού γαρ όντως πέλει, θείον εικόνισμα.

Έθραυσας δαιμόνων μύλας σοφώς, δια μετανοίας, ιεράρχα θαυματουργέ, και Αγγέλων Νήφων, κατηύφρανας τα πλήθη, τω εξαισίω βίω, και τη ασκήσει σου.

Πρέσβευε Κυρίω δια παντός, ιεράρχα Νήφων, δούναι νήψιν και προσευχήν, τοις θαυμάζουσί σου, την θείαν πολιτείαν, και εξαιτούσι Πάτερ, την μεσιτείαν σου.

Πάσαι των Αγγέλων αι στρατιαί, Πρόδρομε Κυρίου, Αποστόλων η δωδεκάς, οι Άγιοι Πάντες μετά της Θεοτόκου, ποιήσατε πρεσβείαν εις το σωθήναι ημάς.

Το Τρισάγιον, τα συνήθη τροπάρια, εκτενής και απόλυσις, μεθ’ ήν το Ήχος β’. Ότε εκ του ξύλου.

Δεύτε τον ποιμένα τον καλόν, Νήφωνα τον θείον λαβόντες, ώσπερ υπόδειγμα, μετανοίας δράμωμεν και επιστρέψωμεν, προς Χριστόν και φιλάνθρωπον, αιτούντες την Χάριν, ήν κατηναλώσαμεν ποικίλοις πταίσμασιν, όπως

ενδυθέντες και αύθις, της υιοθεσίας χιτώνα, αιωνίαν εύρωμεν ανάπαυσιν.

Και τα Θεοτοκία. Ήχος πλ. δ'.

Δέσποινα πρόσδεξαι, τας δεήσεις των δούλων σου, και λύτρωσαι ημάς, από πάσης ανάγκης και θλίψεως.

Ήχος β'.

Την πάσαν ελπίδα μου, εις σε ανατίθημι, Μήτερ του Θεού, φύλαξόν με υπό την σκέπην σου.

Και τέλος, το Δι᾽ευχών.

Στίχοι ικετικοί.

Νήψιν ευκτικήν δος μοι εν μετανοία,

Νήφων ασκητά, εν επισκόποις μέγα.

Απολυτίκιον.

Θείας χάριτος σεπτόν δοχείον, Νήφων γέγονας κι εκκλησίας, ποιμενάρχης ανεδείχθης θεόκλειτος, της μετανοίας τους τρόπους εδίδαξας και απαθείας την χάριν επλούτισας. Πάτερ όσιε Χριστόν τον Θεόν ικέτευε δωρήσασθαι ημίν το μέγα έλεος.